eul_wid: nxy-aa

*Κλαύδιος Ἰολᾶος ὁ ἱστορικός* · Claudius Iolaus the Historian

# Phoenician History Fragments

*Ἀποσπάσματα*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινή* Koine (frg)
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

t1-4 ΦΟΙΝΙΚΙΚΑ. E LIBRO PRIMO.

1 Stephan. Byz.: Ἄκη, πόλις Φοινίκης ... Κλαύδιος δὲ Ἴουλος ἐν πρώτῃ Φοινικικῶν φησὶν ὅτι ἐκλήθη ἀπὸ Ἡρακλέους. Χαλεπωτάτων γὰρ ὑπὸ Εὐρυσθέως ἐν ἐπιταγαῖς ἄθλων περισχεθεὶς, τῷ τῆς Λερναίας ὕδρας ἰῷ [καὶ] τοῖς τῶν δηγμάτων ἐπονεῖτο ἕλκεσιν. Ἀνεῖλε δὲ τὸ Δελφικὸν μαντεῖον ἐπ' ἀνατολὰς ἰτέον, μέχρι ἂν ἐντύχῃ ποταμῷ φύοντι πόαν τῇ ὕδρᾳ παραπλήσιον· ἐκείνης γὰρ καταπλασάμενον τῶν ἑλκῶν ἀπαλλαγήσεσθαι. Εὗρε δὲ τὸν ποταμὸν καὶ τὴν πυθόχρηστον πόαν, ἧς ὁ καυλὸς ἥ τε ῥίζα πάντως ἐστὶν ὀφιώδης τῷ ποικίλῳ [καὶ] ταῖς κεφαλαῖς· ὁπόσα γὰρ ἄν τις ἀποκείρῃ, φύονται αὖθις ἕτεραι. Κολοκάσιον μέντοι καλοῦσι τὴν ῥίζαν. Τὸ δ' ὑπερπεφυκὸς κιβώριον ὄψιν ἡδεῖαν ἐδωδίμους τε τὰς φλέβας παρέχον Αἰγυπτίοις· περὶ δὲ τὸν Νεῖλον φύεται πολλή. Ἡ δὲ περὶ τὸν Βῆλον ἕλκη θεραπεύει δυσίατα. Τριβομένη δὲ μετὰ τῆς ῥίζης λευκὸν ἀναδίδωσιν ὀπόν. Τούτῳ, φησὶ, καὶ Ἡρακλῆς ἰάθη. Καὶ καλέσαι τὴν πόλιν Ἄκην. E LIBRO TERTIO.

2 Idem: Δῶρος, πόλις Φοινίκης ... Νῦν δὲ Δῶρα καλεῖται ... Κλαύδιος Ἴουλλος ἐν γ' Φοινικικῶν· «Μετὰ Καισάρειαν Δῶρα κεῖται βραχεῖα πολίχνη, Φοινίκων αὐτὴν οἰκούντων, οἳ διὰ τὸ ὑπόπετρον τῶν τε αἰγιαλῶν καὶ τὸ πορφύρας γόνιμον συνελθόντες καλιὰς αὐτοῖς ᾠκοδομήσαντο καὶ περιβαλλόμενοι χάρακας, ὡς ὑπήκουεν αὐτοῖς τὰ τῆς ἐργασίας, τεμνόμενοι τὰς πέτρας διὰ τῶν ἐξαιρουμένων λίθων τὰ τείχη κατεβάλοντο, καὶ τὴν ἔνορμον (εὔορ.?) χηλὴν ὅπως τε (γε?) ἀσφαλῶς ἔθεντο, ἐπώνυμον αὐτὴν τῇ πατρίῳ γλώσσῃ Δῶρα (Δὼρ?) καλοῦντες. Οἱ δὲ Ἕλληνες χάριν τοῦ τῆς φωνῆς εὐπροφόρου καλεῖν ἀρκοῦνται Δῶρα τὴν πόλιν. Καί τινες ἱστοροῦσι Δῶρον τὸν Ποσειδῶνος οἰκιστὴν αὐτῆς γεγονέναι.» Etym.

2a M.: Γάδειρα. Τὰ Γάδειρα λέγονται πληθυντικῶς, ἀπὸ τοῦ γῆ καὶ τοῦ δειρά, οἱονεὶ γῆς δειρά. Τὰ γὰρ Γάδειρα τῆς γῆς ἐξοχή ἐστιν. Ἢ, ὥς φησι Κλαύδιος Ἰούλιος ἐν ταῖς Φοινίκης ἱστορίαις, ὅτι Ἀρχαλεὺς υἱὸς Φοίνικος κτίσας πόλιν ὠνόμασε τῇ Φοινίκων γραφῇ· γάδον γὰρ παρ' αὐτοῖς τὸ ἐκ μικρῶν ᾠκοδομημένον. EX LIBRIS INCERTIS.

3 Steph. B.: Ἰουδαία. Ἀλέξανδρος ὁ Πολυΐστωρ, ἀπὸ τῶν παίδων Σεμιράμιδος Ἰούδα καὶ Ἰδουμαία, ὡς δὲ Κλαύδιος Ἰόλαος, ἀπὸ Ἰουδαίου Σπάρτωνος ἐκ Θήβης μετὰ Διονύσου ἐστρατευκότος. Idem: Λάμπη, πόλις Κρήτης, Ἀγαμέμνονος κτίσμα, ἀπὸ Λάμπου τοῦ Ταρραίου.

4 Τὸ ἐθνικὸν Λαμπαῖος. Κλαύδιος δὲ Ἰούλιος Λαμπέας αὐτούς φησιν.